A

## ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ πρώτη.

Τρίμετροι.

ΚΛΕΩΝ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΔΗΜΟΣ, ΧΟΡΟΣ.

Bisetus. Κλέων, καὶ Ἀγοράκριτος τὴν τοῦ δήμου εὔνοιαν ποικίλοις βρώμασι θηρεύειν ἀμφοτέρωθεν πειρῶνται.

B

Bisetus. Κορωνὶς ἐκ στίχων ρι.

Κλ. Ἄπαγ' ἐς Μακαρείαν ἐκποδών. Αλ. σύ γ' ὦ φθόρε.
Κλ. Ὦ δῆμ', ἐγὼ μέντοι παρεσκευασμένος
Τρίπαλαι κάθημαι, βουλόμενός σ' εὐεργετεῖν.
Αλ. Ἐγὼ δὲ δεκάπαλαί γε, καὶ δωδεκάπαλαι,
Καὶ χιλιόπαλαι, καὶ πρόπαλαι, πάλαι, πάλαι.
Δη. Ἐγὼ δὲ προσδοκῶν γε, τρισμυριόπαλαι,
Βδελύττομαί σφω, καὶ πρόπαλαι, πάλαι, πάλαι.
Αλ. Οἶσθ' οὖν ὃ δρᾶσον; Δη. εἴ γε μὴ φράσεις γε σύ.
Αλ. Ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί,
Ἵνα σ' εὐποιῶμεν ἐξ ἴσου. Δη. δρᾶν ταῦτα χρή.
Ἄπιτον. Αλ. ἰδού. Δη. θέοιτ' ἄν. Κλ. ὑποθεῖν οὐκ ἐῶ.
Δη. Ἀλλ' ἢ μεγάλως εὐδαιμονήσω τήμερον,
Ὑπὸ τῶν ἐραστῶν, νὴ Δί', ἢ 'γὼ θρύψομαι.
Κλ. Ὁρᾷς; ἐγώ σοι πρότερος ἐκφέρω δίφρον.
Αλ. Ἀλλ' οὐ τράπεζαν, ἀλλ' ἐγὼ προτεραίτερος.
Κλ. Ἰδοὺ φέρω σοι τήνδε μαζίσκην ἐγώ,
Ἐκ τῶν ὀλῶν τῶν ἐκ Πύλου μεμαγμένην.
Αλ. Ἐγὼ δὲ μυστίλας μεμυστιλημένας
Ὑπὸ τῆς θεοῦ τῇ χειρὶ τῇ 'λεφαντίνῃ.
Δη. Ὡς μέγαν ἄρ' εἶχες ὦ πότνια τὸν δάκτυλον.
Κλ. Ἐγὼ δ' ἔτνος γε πίσινον, εὔχρων καὶ καλόν,
Ἐτόρυνε δ' αὔθ' ἡ Παλλάς, ἡ πυλαιμάχος.
Αλ. Ὦ δῆμ', ἐναργῶς ἡ θεός σ' ἐπισκοπεῖ,
Καὶ νῦν ὑπερέχει σου χύτραν, ζωμοῦ πλέαν.
Δη. Οἴει γὰρ οἰκεῖσθ' ἂν ἔτι τήνδε τὴν πόλιν,
Εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν.

## ACTVS IIII. SCENA I.

*Senarij.*

CLEO, AGORACRITVS, POPVLVS, CHORVS.

CL. *A Page hinc in Macariam.* AG. *tu apage, tu perdite.*
CL. *O popule ego iam paratus assideo tibi,*
*Nunc dudum vt beneficia mea in te conferam.*
AG. *Et ego decies dudum & duodecies, pople,*
*Et millies dudum, dudum inquam, mi pople.*
C PO. *At ego nunc tricies expecto millies.*
*Vósque execror iamdudum, dudum, inquam, & diu.*
AG. *Scin' tu ergo quid facias?* PO. *sciam, si dixeris.*
AG. *A carceribus dimitte me & hunc, vt cursibus*
*Æquis tibi benefaciamus.* PO. *sic facto opus'st.*
D *Abite.* AG. *Eccum.* PO. *currite.* CL. *subuerti haud me sinam.*
PO. *Aut ego fortunabor hodie quàm plurimùm,*
*Ab his amatoribus, aut viuam molliter.*
CL. *Viden' prior ego tibi sellam isthanc offero.*
AG. *Sed non mensam, ego verò prior tibi effero.*
CL. *Eccam hanc tibi massulam fero: quæ ex ordeis*
*Salsis, Pyli insulæ bene pista venit tibi.*
E AG. *Ego verò caricas conformatas à Dea*
*Cerere, manu eburnea.* PO. *quàm magnum ergo ô Dea*
*Venerandam habebas digitum.* CL. *at ego pultem bonam*
*Boni coloris, è pisis coctam fero.*
*Hanc Pallas coxit, illa direptrix Pyli.*
AG. *O popule, acutis oculis te obseruat Dea,*
*Et ollam iure plenam, prætendit tibi.*
PO. *Putásne tu hanc vrbem etiamnum habitari, nisi*
F *Ollam nobis palàm prætendisset Dea.*

Σχόλια. Ἄπαγ' ἐς Μακαρείαν.] κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρι. πλὴν τοῦ περὶ ἰαμβικοῦ μονομέτρου βραχυκαταλήκτου. ὧν ὁ τελευταῖος ἰδεῖν ἄμεινον τῇ Κεχηναίων πόλει. ἐπὶ τῷ τέλει κορωνίς. γράφεται δὲ ἔρρ' εἰς Μακαρείαν κατ' εὐφημισμὸν ἀντὶ τοῦ εἰς ὄλεθρον. ἐπεὶ καὶ οἱ τεθνεῶτες Μακαρεῖται λέγονται. ἄλλως. Μακαρεία Ἡρακλέους θυγάτηρ, ἣν Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν πολυτελῶς ἔθαψαν. ἄλλως. παροιμιῶδες. βάλλ' εἰς Μακαρείαν. οἱ μὲν κατ' εὐφημισμὸν ἐδέξαντο λέγεσθαι. ἀντὶ τοῦ βάλλ' εἰς δειλαιότητα. Μακαρείαν γὰρ ἐν ᾅδου χωρεῖον διατυποῦσιν. οἱ δὲ τὴν Μακαρείαν θυγατέρα φασὶ τοῦ Ἡρακλέους. ἥγε κατὰ τὴν ἐπὶ τὰς Ἀθήνας Εὐρυσθέως στρατείαν τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας πρὸς τὸν τοῦ ἐλαίου βωμὸν καταφυγόντας, χρησμοῦ δοθέντος τοὺς Ἀθηναίους νικήσειν, εἴ τις τῶν Ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτόν, κατέσφαξεν ἑαυτὴν ὡς ἐν Ἡρακλείδαις Εὐριπίδης. ἧς τὸν τάφον ἄνθεσι καὶ στεφάνοις τιμῶντες οἱ Ἀθηναῖοι ὡς τῶν Ἀργείων ἡττηθέντων, ἐπέλεγον, βάλλ' εἰς Μακαρείαν. τὸ μὲν οὖν πρῶτον ἐπὶ τῶν κατ' ἀρετὴν διδόντων ἑαυτοὺς εἰς θάνατον ἡ παροιμία ἐλέγετο. ὕστερον δὲ ἐπὶ πάσης ἀφοσιώσεως. φθόρε δέ, ὄλεθρε φθοροποιέ. Οἶσθ' οὖν ὃ δρᾶσον.] Ἀττικὸν ἀντὶ τοῦ δράσεις. Ἀπὸ βαλβίδων.] μετενήνεγκεν ἀπὸ τῶν περὶ δρόμους ἁμιλλωμένων ἐν τοῖς ἀγῶσι. βαλβὶς δὲ καλεῖται τὸ ἐν τῇ ἀρχῇ τοῦ δρόμου κείμενον ἐγκαρσίως ξύλον, ὃ καὶ ἀφετηρείαν καλοῦσιν. ὅπερ μετὰ τὸ ἑτοιμασθῆναι τοὺς δρομεῖς εἰς τὸ δραμεῖν, ἀφαιρούμενοι

G

ἀφίεσαν